Cours de littérature grecque
Semestre d’automne 2023
**Chanter la victoire : Pindare, Simonide et Bacchylide**
Lectures en marge du cours de littérature n° 10

**Pindare, *Pythique* 4.24-46**
Motte de terre offerte à Euphamos en signe de possession du sol de Cyrène.

ἁνίκ’ ἄγκυραν ποτὶ χαλκόγενυν
ναΐ κριμνάντων ἐπέτοσσε, θοᾶς Ἀρ-
  γοῦς χαλινόν· δώδεκα δὲ πρότερον
ἁμέρας ἐξ Ὠκεανοῦ φέρομεν νώ-
  των ὕπερ γαίας ἐρήμων
ἐννάλιον δόρυ, μήδεσιν ἀνσπάσσαντες ἁμοῖς.
τουτάκι δ’ οἰοπόλος δαίμων ἐπῆλθεν, φαιδίμαν
ἀνδρὸς αἰδοίου πρόσοψιν
  θηκάμενος· φιλίων δ’ ἐπέων
ἄρχετο, ξείνοις ἅ τ’ ἐλθόντεσσιν εὐεργέται
δεῖπν’ ἐπαγγέλλοντι πρῶτον.
ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ
κώλυεν μεῖναι. φάτο δ’ Εὐρύπυλος Γαι-
  αόχου παῖς ἀφθίτου Ἐννοσίδα
ἔμμεναι· γίνωσκε δ’ ἐπειγομένους· ἂν
  δ’ εὐθὺς ἁρπάξαις ἀρούρας
δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι,
οὐδ’ ἀπίθησέ ἱν, ἀλλ’ ἥρως ἐπ’ ἀκταῖσιν θορών,
χειρί οἱ χεῖρ’ ἀντερείσαις
  δέξατο βώλακα δαιμονίαν.
πεύθομαι δ’ αὐτὰν κατακλυσθεῖσαν ἐκ δούρατος
ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ
ἑσπέρας ὑγρῷ πελάγει σπομέναν. ἦ
  μάν νιν ὤτρυνον θαμά
λυσιπόνοις θεραπόντεσ-
  σιν φυλάξαι· τῶν δ’ ἐλάθοντο φρένες
καί νυν ἐν τᾷδ’ ἄφθιτον νάσῳ κέχυται Λιβύας
εὐρυχόρου σπέρμα πρὶν ὥρας. εἰ γὰρ οἴ-
  κοι νιν βάλε πὰρ χθόνιον
Ἀίδα στόμα, Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών,
υἱὸς ἱππάρχου Ποσειδάωνος ἄναξ,
τόν ποτ’ Εὐρώπα Τιτυοῦ θυγάτηρ
  τίκτε Καφισοῦ παρ’ ὄχθαις,
τετράτων παίδων κ’ ἐπιγεινομένων
αἷμά οἱ κείναν λάβε σὺν Δαναοῖς εὐ-
  ρεῖαν ἄπειρον.